# ΚΥΡΙΑΚΗ Α΄ ΜΑΤΘΑΙΟΥ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις

**Ἀπολυτίκιον Ἀναστάσιμον.** Ἦχος πλ. δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τρίημερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ Ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν Κύριε, δόξα Σοι.

* * *



*Ἱ. Εἰκὼν (2003) Ἱ. Ἡσυχαστήριον Ἁγίων Πάντων εἰς Σφυρεῖκα Ἀγρινίου ἐκ τοῦ Ἁγιογραφείου Ἱ. Μ. Ἁγίων Ἀγγέλων Ἀφιδνῶν Ἀττικῆς.*

## Ἅγιοι Πάντες

**Ἀπολυτίκιον τῶν Ἁγίων.**
**Ἕτερον.** Ἦχος δ΄.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων Σου, ὡς πορφύραν καὶ βύσσον, τὰ αἵματα, ἡ Ἐκκλησία Σου στολισαμένη, δι᾽ αὐτῶν βοᾷ Σοι, Χριστὲ ὁ Θεός· Τῷ λαῷ Σου τοὺς οἰκτιρμούς Σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ Σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἕτερον.** Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Ἁγίων ἁπάντων τὰ μυρία συστήματα, σὺν τοῖς Ἀποστόλοις Προφήτας, Ἱεράρχας καὶ Μάρτυρας, Ὁσίων καὶ Δικαίων τοὺς χορούς, καὶ ἄθροισμα Ἁγίων Γυναικῶν, καὶ σὺν πᾶσιν ἀνωνύμοις τε καὶ γνωστοῖς, ὑμνήσωμεν κραυγάζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ τὴν Ἐκκλησίαν δι᾽ ὑμῶν πυρσεύοντι.

**Ἕτερον.** Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.
(Ποίημα ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου).

Βλαστοὺς εὐαγγελίου καὶ καρποὺς ἀμαράντους, χοροὺς ἁγίων Πάντων εὐφημήσωμεν πάντες· ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, μιμούμενοι αὐτῶν τὰς ἀρετάς, καὶ ἀγῶνας τοὺς γενναίους ἀπὸ ψυχῆς συμφώνως ἀνακράζοντες· δόξα τῷ στεφανώσαντι ὑμᾶς, δόξα τῷ ἁγιάσαντι, δόξα τῷ ἐν τῇ γῇ καὶ οὐρανῷ ὑμᾶς δοξάσαντι.

**Κοντάκιον.** Ἦχος πλ. δ΄. Αὐτόμελον.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει Σοι Κύριε τοὺς θεοφόρους Μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν

εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν Σου, διὰ τῆς Θεοτόκου, συντήρησον Πολυέλεε.

**Ἕτερον.** Ἦχος δ΄.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

**Ἡ** μνήμη αὕτη τῶν Ἁγίων ἁπάντων, καθάπερ ἄλλος οὐρανὸς ἀπαστράπτει, ὡς Ἥλιον μὲν λάμποντα ἐν μέσῳ τὸν Χριστόν, ἔχων ὡς σελήνην δέ, τὴν Ἁγίαν Παρθένον, καὶ ὡς Ἀστέρας φαίνοντα, κύκλῳ Πάντας Ἁγίους. Διὸ οἱ ἑορτάζοντες αὐτήν, νοῦν καὶ καρδίαν, ἀεὶ ἐλλαμπόμεθα.

**Στίχοι.**
Τοῦ Κυρίου μου πάντας
ὑμνῶ τοὺς φίλους.
Εἴ τις δὲ μέλλων,
εἰς τοὺς πάντας εἰσίτω.


*Ἱ. Εἰκὼν (1770), Νέα Σκήτη Ἁγίου Ὄρους, Ἄθω.*

## Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων

*(Ἑβρ. ια΄33-ιβ΄2· Ματθ. ι΄ 32-33, 37-38, ιθ΄27-30)*

**Ὁ** μὲν προφητάναξ Δαυΐδ, μετὰ πολλῆς εὐλαβείας τιμῶν τοὺς φίλους τοῦ Θεοῦ, ἔλεγεν· «Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός». **Ὁ** δὲ θεῖος Ἀπόστολος, ἀπαριθμήσας τὰ κατορθώματα τῶν Ἁγίων καὶ τὴν μνήμην Αὐτῶν προβάλλων ἡμῖν ὡς παράδειγμα, πρὸς ἀποστροφὴν μὲν τῶν γηΐνων πραγμάτων καὶ τῆς ἁμαρτίας, μίμησιν δὲ τῆς ὑπομονῆς αὐτῶν καὶ ἀνδρείας εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς, οὕτω λέγει· «Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι᾿ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα».

**Ἐ**κ τῆς διδασκαλίας οὖν τῶν θείων Γραφῶν καὶ τῆς ἀποστολικῆς παραδόσεως ὁδηγηθέντες ἡμεῖς οἱ εὐσεβεῖς τιμῶμεν ἅπαντας τοὺς φίλους τοῦ Θεοῦ, τοὺς Ἁγίους, ὡς φύλακας τῶν ἐντολῶν τοῦ Θεοῦ, ὡς ἀρετῆς λαμπρὰ παραδείγματα, ὡς τῆς ἀνθρωπίνης φύσεως εὐεργέτας. **Κ**αὶ ἕκαστον μὲν τῶν γνωρίμων Ἁγίων τιμῶμεν εἰδικῶς, εἰς μίαν τινὰ τοῦ ἐνιαυτοῦ ἡμέραν, ὡς φαίνεται εἰς τὸ Μηνολόγιον· ἐπειδὴ δὲ πολλοί εἰσιν ἡμῖν ἄγνωστοι, καὶ ὁ ἀριθμὸς αὐτῶν ἐπολλαπλασιάσθη κατὰ καιρούς, καὶ



ἔτι πολλαπλασιάζεται καὶ οὐ παύσεται πληθυνόμενος ἕως τῆς συντελείας, διὰ τοῦτο ἡ Ἐκκλησία ἔταξεν, ἅπαξ τοῦ ἐνιαυτοῦ πάντων τῶν Ἁγίων κοινὴν μνήμην, ἥτις είστὶν ἡ παροῦσα ἑορτή.

**Τ**αύτην οὖν ἐπιτελοῦντες σήμερον, τιμῶμεν εὐλαβῶς καὶ μακαρίζομεν πάντας, Δικαίους, Προφήτας, Ἀποστόλους, Μάρτυρας, Ὁμολογητάς, Ποιμένας, Διδασκάλους, Ὁσίους, ἄνδρας καὶ γυναῖκας ὁμοῦ, γνωστοὺς καὶ ἀγνώστους, τοὺς προστεθέντας καὶ τοὺς προστιθεμένους, ὅσοι ἀπὸ Ἀδὰμ ἕως τοῦ νῦν ἐτελειώθησαν ἐν εὐσεβείᾳ καὶ διὰ τῶν καλῶν ἔργων ἐδόξασαν τὸν Θεόν. **Τ**ούτους πάντας καὶ αὐτὰ προσέτι τῶν Ἀγγέλων τὰ τάγματα, πρὸ πάντων δὲ καὶ μετὰ πάντων τὴν Ὑπεραγίαν Δέσποιναν καὶ Κυρίαν ἡμῶν Θεοτόκον, Μαρίαν τὴν ἀειπάρθενον, τιμῶμεν σήμερον διὰ τῆς παρούσης Ἑορτῆς, προτιθέμενοι τὸν βίον αὐτῶν ἀρετῆς παράδειγμα, καὶ παρακαλοῦντες αὐτούς, ἵνα πρεσβεύωσιν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεόν. **Ο**ὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ἡμῶν. **Ἀ**μήν.

❖